TEZAUR LITURGIC

**5 OCTOMBRIE**

# PARACLISUL SF.CUVIOS EVDOCHIM DE LA VATOPED-ATHOS

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 5 ΟΚΤΩΒΡΙΟΣ
# ΕΥΔΟΚΙΜΟΣ ΟΣΙΟΣ
# ΒΑΤΟΠΕΔΙΝΟΣ
# ΠΑΡΑΚΛΗΣΙΣ

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ' (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ' ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α'. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β'. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ'. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τὸν ἐν ἐσχάτοις τοῖς καιροῖς παραδόξως, ἀναφανέντα τῇ Θεοῦ εὐδοκίᾳ, καὶ εὐωδίαν πνέοντα ὀδμῆς μυρεψικῆς, πάντες εὐφημήσωμεν, ἐν ᾠδαῖς ἐπαξίως, Ὅσιον Εὐδόκιμον, πρὸς αὐτὸν ἐκβοῶντες· ὑπὲρ ἡμῶν ἱκέτευε πολλῶν, νόσων ῥυσθῆναι, ταῖς σαῖς παρακλήσεσι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα, ὁ Κανών.

*ᾨδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Ἐλθέτω ὁ θίασος μοναστῶν, χοροὶ ἀσκητῶν τε, εὐφημήσοντες σὺν ἡμῖν, τὸν Βατοπεδίῳ νεοφανῆ ὀφθέντα, μυριπνοοῦντα πάντας θεῖον Εὐδόκιμον.

Μοναὶ αἱ τοῦ Ἄθω ἥκατε δή, εἰς μνήμην Ἁγίου, τοῦ φανέντος νεολαμποῦς, ὃς ἁγιωσύνην ἐκδιδάσκει, ἐπιτελεῖν νουνεχῶς ἀφανέστατα.

Ζωὴν σὺ διήνυσας ἐπὶ γῆς, ἰσάγγελον μάκαρ, ἀγνοούμενος τοῖς πολλοῖς, Θεὸς δὲ ἐν τέλει σὲ δοξάζων, μύροις τὸ σκῆνός σου Πάτερ ἐτίμησεν.

*Θεοτοκίον.*

Τεκοῦσα τὸν ἄχρονον ὑπὲρ νοῦν, ἁγνὴ Θεομῆτορ, διαφύλαττε Σὴν Μονήν, πρεσβείαις τοῦ θείου Εὐδοκίμου, τοῦ τὸν Υἱόν Σου πιστῶς θεραπεύσαντος.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Οὐρανόφοιτον μῦρον παρὰ Θεοῦ εἴληφας, ἐν Βατοπεδίῳ μονάζων, ἀσκήσας ἄριστα, βίον Εὐδόκιμε, ἀγγελικὸν διανύσας· ὅθεν σε ὁ Κύριος, μύροις ἐδόξασεν.

Ἀρετὴν πᾶσαν Πάτερ ἐπὶ τῆς γῆς ἤσκησας, καὶ τοὺς συνασκοῦντας πατέρας, λαθεῖν ἑλόμενος, κρυφίως ἔσπευσας, σαυτὸν καθεῖρξαι ἐν τάφῳ, προγνούς σου τὴν κοίμησιν, μάκαρ Εὐδόκιμε.

Θαῦμα μέγα κατεῖχε τοὺς ὑπουργοὺς Ὅσιε, τοῦ πολυανδρίου τοῦ πάλαι, μύρου ὅτ’ ἤσθοντο, αἴφνης δ’ ἐβόησαν, τοῖς ἐν Μονῇ δηλωτέρα, ἔνι τὸ αἰσθόμενον, Ἁγιου ἄγγελμα.

*Θεοτοκίον.*

Ὑπερένδοξε Κόρη ἡ τὸν Θεὸν τέξασα, καὶ Βατοπεδίου Κυρία ἡμᾶς ἐνίσχυσον, πρὸς τὰ οὐράνια, ἀναδραμεῖν ἀνενδότως, ποίμνην δὲ περίσωζε, Σοῦ τὴν ἀρίδηλον.

Διάσωσον, ταῖς τοῦ σοῦ μύρου δαψιλέσιν ἀρδείαις, ὦ Εὐδόκιμε ἀπὸ κινδύνων σὴν ποίμνην, ἧς ἐκ Θεοῦ προστάτης γεγένησαι, καὶ ἄγρυπνος φύλαξ ταύτης καὶ ῥύστης.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Προστάτης θερμὸς ὑπάρχεις ὦ Εὐδόκιμε, τοῖς πίστει τοῖς σοῖς, λειψάνοις προσπελάζουσι, καὶ πιστῶς γεραίρουσι, καὶ βοῶσί σοι πανσεβάσμιε· ἐκ τῶν κινδύνων λύτρωσαι ἡμᾶς, ὡς μέγας ἡμῶν φύλαξ καὶ πρόμαχος.

*ᾨδὴ δ΄. Σύ μου ἰσχύς, Κύριε.*

Δεῦτε πιστοί, ἄνδρα τὸν θεῖον ὑμνήσωμεν, μάλιστά γε, οἱ κατὰ τὸν Ἄθωνα, συμμονασταί, βίου τ’ ἐρασταί, ἀναγωγικοῦ γάρ, πρὸς τὰ ἡμῖν ἐφιέμενα, αὐτὸς ἡμῖν ἐφάνη, ἐν ἐσχάτοις τοῖς χρόνοις, ἐνισχύων ἡμᾶς πρὸς εὐθύδρομον.

Ἅμα ὀφθείς, θαυμάτων πλήθη ἐτέλεσας, οὐ γὰρ μῦρον, μόνον σοι τὸ δώρημα, καὶ γὰρ Μονῆς, τῆς δὲ Γαβριήλ, καίπερ ἰατρὸς ὤν, ὀσφύος ἄλγη οὐκ ἔπαυσε, πρὶν ἄν σου ἐδεήθη, καὶ σὺ τοῦτον ἐφάνης, τῇ ἀφῇ τῆς χειρὸς ἐξιώμενος.

Ὅσοι πιστοί, ἐν νόσῳ ὄντως προσέφυγον, πρὸς σὲ Πάτερ, νόσων ἀπηλλάγησαν, καὶ ὀδυνῶν, πάντες

χαλεπῶν, τμήματα τινὲς δέ, σοῦ ἐπενδύτου λαμβάνοντες, πιστῶς προσδεδεγμένοι, προσαπτόμενοι ταῦτα, ἑαυτοὺς ὑγιεῖς ἀπεδείξαντο.

*Θεοτοκίον.*

Πῶς τὸν Θεόν, ἐχώρησας τὸν ἀχώρητον, μυροδόχε, ὄντως ὑπὲρ ἔννοιαν, ἅπας γὰρ νοῦς, ἀκαταληπτεῖ, πρὸ τοῦ μυστηρίου, τὸ μέγεθος λογιζόμενος· διό Σε σὺν Ἀγγέλοις, οἱ πιστοὶ ἀνυμνοῦμεν, τὴν Σὴν σκέπην αἰτούμενοι Δέσποινα.

*ᾨδὴ ε΄. Ἵνα τί με ἀπώσω.*

Οἱ πιστοὶ ἐκ περάτων, ὁμοῦ συμπροσέλθετε θαῦμα ὀψόμενοι, Ἅγιον εἰς Ὄρος τὸ σεπτὸν κατὰ τὸ Βατοπέδιον, καὶ ὀσφφρανθήσεσθε, μύρου τῷ ὄντι οὐρανίου, δι’ ἡμᾶς γὰρ τὸ θαῦμα ἐπέφηνε.

Οἱ σορῷ προσελθόντες, καὶ κατοσφραινόμενοι μύρου ἐμπέπληνται, ὢ θαύματος φάντες, οὐράνιον γὰρ τό γε φαινόμενον, χαρᾶς τὲ πλησθέντες, ἐν πίστει τε στερεωθέντες, τὸν Θεὸν μεγαλύνοντες ᾖεσαν.

Ὅσοι πόθον τὸν θεῖον, ἐν ψυχῇ ἐλάβετε μονασταὶ Ὅσιοι, μὴ κάμητ’ ἐλθόντες, ἐποψόμενοι ἐντολῆς πλήρωσιν, βιοὺς γὰρ ἀγνώστως, Εὐδόκιμος ὁ ἐν Ἁγίοις, καὶ Θεὸς συνεμύρισε θαύμασιν.

*Θεοτοκίον.*

Ὀρειοῦχε Παρθένε, Σὸν γὰρ ἐνδιαίτημα Ὄρος τὸ Ἅγιον, ἀλλ’ ὦ Θεομῆτορ, φρούρει τοῦτο ἁγνὴ Βηματάρισσα, σὺν Βατοπεδίῳ, ταῖς Εὐδοκίμου ἱκεσίαις, νοητῶν πειρατῶν διασώζουσα.

*Ὠδὴ στ΄. Τὴν δέησιν.*

Τὸ ὕψος, σῆς ἀρετῆς ἐξέπληξε, καὶ Ἀγγέλων καὶ βροτῶν τὰς χορείας! Τὸ πῶς σοφέ, ἐπεθύμεις κρυβῆναι, ὅλως καὶ ζῶν καὶ θανὼν παναοίδιμε, ὡς ἀληθῶς γὰρ συμπασῶν, ἀρετῶν δεῖγμα σοῦ τὸ κατόρθωμα.

Ἐστήριξας, κλονουμένων καρδίας, πρὸς τὴν θείαν εὐσεβείας κρηπίδα, ἀναφανεὶς ἐν ἐσχάτοις τοῖς χρόνοις, ὀσμὴν ἐκπνέων Εὐδόκιμε Ὅσιε, ἰάματα παντοδαπά, παρεχόμενος πᾶσι τοῖς κάμνουσι.

Ἐδόθη σοι, τῶν θαυμάτων δύναμις, καὶ ἰάσεων ἡ χάρις τρισμάκαρ, ἵνα μηδέν, ὑστερῇς τῶν Ἁγίων· ὅθεν θαυμάτων πληθὺν ἐπετέλεσας, τοῖς πίστει ὄνομα τὸ σόν, προσκαλοῦσιν Εὐδόκιμε Ὅσιε.

*Θεοτοκίον.*

Ἀφράστως ἐν γαστρὶ συνέλαβες, τὸν ἀχώρητον Θεὸν Θεοτόκε· ὅθεν ταῖς Σαῖς, ἀκοιμήτοις πρεσβείαις, πρὸς τὸν Υἱόν Σου ἀξίωσον ἔσεσθαι, ἡμᾶς σὺν ἅμα τῷ κλεινῷ, Εὐδοκίμῳ πιστῷ Σου θεράποντι.

Διάσωσον, ταῖς τοῦ σοῦ μύρου δαψιλέσιν ἀρδείαις, ὦ Εὐδόκιμε ἀπὸ κινδύνων σὴν ποίμνην, ἧς ἐκ Θεοῦ προστάτης γεγένησαι, καὶ ἄγρυπνος φύλαξ ταύτης καὶ ῥύστης.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.*

Οἱ ποθοῦντες τῶν ἀσθενειῶν ἀναῤῥώσασθαι, Εὐδοκίμου τῇ σορῷ τῶν ὀστέων προσδράμωμεν, καὶ εὐλαβῶς αὐτὰ προσπτυσσόμενοι, μετὰ πόθου κράξωμεν αὐτῷ· ὡς ἐκ Θεοῦ χάριν λαβών, τοὺς νοσοῦντας ἰάσασθαι, τάχυνον ἐξελέσθαι, παντοίων πειρατηρίων, καὶ τῶν ἐχθίστων δυσμενῶν, τοὺς ἐν πίστει ἀνυμνοῦντάς σε.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ.: *Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ, περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;*

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου, καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰμὴ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰμὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κᾀγὼ ἀναπαύσω ἡμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ’ ὑμᾶς, καὶ μάθετε ἀπ’ ἐμοῦ, ὅτι πρᾷος εἰμί, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρὸν ἐστί.

Δόξα: *Ταῖς τοῦ Σοῦ Ὁσίου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.
Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Μέγαν ἀντιλήπτορα, σὲ κεκτημένη καυχᾶται, ἡ Βατοπεδίου σε, λαύρα ἡ ἀρίζηλος ὦ Εὐδόκιμε, καὶ σεπτὴν μνήμην σου, λιγυροῖς ᾄσμασι, καταστέφει καὶ γεραίρει σου, κάραν τὴν πάντιμον, ἄῤῥητον ὀδμὴν ἀποπνέουσαν, καὶ γάρ σε πρὸς τὸν Κύριον, πρεσβευτὴν κεκτήμεθα ἄγρυπνον, ἔχεις καὶ γὰρ Πάτερ, ἰσχὺν πρὸς τὸ πρεσβεύειν ἐκτενῶς, ὑπερ τῶν πίστει τιμώντων σε, ἀξιομακάριστε.

*ᾨδὴ ζ΄. Παῖδες Ἑβραίων.*

Χαῖρε χορεύων ἐν τῇ μνήμῃ, Βατοπέδιον υἱοῦ σου Εὐδοκίμου, καὶ πιστοὺς εἰς ᾠδάς, συγκάλεσον βοῶντας· εὐλογητὸς εἶ Κύριε, ὁ τοὺς σοὺς καθαγιάζων.

Σκίρτα τὸ Ὄρος τὸ τοῦ Ἄθω, ἡγιάσθης γὰρ ἐκ τῶν ἁγιασθέντων, καὶ ἀσκούντων ἐν σοί, δεδόξασαι δ’ ἐν κόσμῳ, καὶ γὰρ ὁ σὸς Εὐδόκιμος, διαγγέλλει σε τοῖς πᾶσιν.

Πᾶς ὁ ἀσκούμενος ἐν Ἄθῳ, ἀνυέτω δὴ τὸν δρόμον πεποιθότως, βεβαιούμνος νῦν, ὑπὸ τοῦ Εὐδοκίμου, ἀνταμοιβῆς ὡς τεύξεται, οὐρανῶν τῆς Βασιλείας.

*Θεοτοκίον.*

Ὡς ἠρετίσω κατοικίας, καὶ οἰκήτορας οὐκ ἀναξίους ἔχεις, ἁμιλλώμεθα δέ, πρὸς βίον Εὐδοκίμου, ἀλλὰ ἡμῖν βοήθησον, τοῖς Σοῖς δούλοις Θεοτόκε.

*ᾨδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ.*

Τὸν ἐν Ἄθῳ μυρίπνοον ὀφθέντα, καὶ δοξάζοντα Μονὴν Βατοπεδίου, νεοφανῆ ἀοίδιμον Εὐδόκιμον, δεῦτε συνελθόντες, οἱ ἐν αὐτῷ ἀσκοῦντες, ὑμνήσωμεν ἀξίως.

Τίς ἐξείπει τὸ θάμβος ὃ κατέσχε, τοὺς παρόντας σου λειψάνου τῇ εὑρέσει, οἳ ἐκπλαγέντες ἅπαντες ἐβόησαν· μέγας ὦ Πατέρες, ἐν τῷ Εὐδοκίμῳ, Θεὸς τῶν Χριστωνύμων.

Ἐκκαθάρας τὸ σκῆνός σου θεόφρον, τῇ ἀσκήσει ὡς μὴ ἔχειν τι γεῶδες, οὐδὲ ὀσμῆς ὑλώδους τι παντάπασιν· ὅθεν καὶ δοχεῖον, ἀνάμεστον κατέστη, τοῦ οὐρανίου μύρου.

*Θεοτοκίον.*

Θεοτόκε θερμῶς Σε δυσωποῦμεν, Σὺ γὰρ μόνη μεσίτρια τυγχάνεις, πᾶσι πιστοῖς, καὶ μάλιστα τοῖς δούλοις Σου, τοῖς ἐνασκουμένοις, ἐν Ὄρει τῷ Ἁγίῳ, οὓς φρούρει Σαῖς πρεσβείαις.

*ᾨδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.*

Ἐφάνης ὑπὲρ ἄνθρωπον ἐπὶ γῆς, ὡς ζωὴν διανύσας ἰσάγγελον, εἰ γὲ οὐδείς, δόξαν κατεμίσησε παντελῶς, ὡς μὴ δὲ θέλειν φαίνεσθαι, ἅς γε διεπράξατο ἀρετάς· διό σε θεοφόρε, καὶ σύμπας εὐφημεῖ σε, ὁ οὐρανόγειος διάκοσμος.

Σὺ ἔργῳ ἐβεβαίωσας τὸ ῥητόν, ὃ Χριστὸς διαῤῥήδην ἐκέλευσε, μηδὲν ποιεῖν, πρὸς τὸ θεαθῆναι ἐνδεικτικῶς, ὡς τοῦ μισθοῦ ἀπέχουσιν, ἀρετὰς οἱ

πράττοντες φανερῶς· διὸ καὶ ἡγιάσθης, Εὐδόκιμε θεόφρον, ἁγιασμῷ, τελείῳ πάνσοφε.

Πλουσίας ἀντιδόσεις παρὰ Θεοῦ, εἰληφὼς τῶν ἀμέτρων καμάτων σου, πρόστηθι νῦν, λύτρωσαι Εὐδόκιμε συμφορῶν, καὶ χαλεπῶν κακώσεωνν, τοὺς ἀσπαζομένους σου εὐλαβῶς, σορὸν τὴν τῶν λειψάνων, Μονὴν δὲ τὴν οἰκείαν, σώζοις λιταῖς σου περιστάσεων.

*Θεοτοκίον.*

Δοχεῖον γεγονυῖα ὑπερφυές, εὐδοκίᾳ Πατρὸς τοῦ Γεννήτορος, Πνεύματος δέ, ἅμα ἐπελεύσει συνεργικοῦ, Θεοῦ τοῦ Λόγου πάναγνε, ὃν καὶ καθικέτευε Σὴν Μονήν, πρεσβείαις Εὐδοκίμου, τηρεῖν καὶ περιέπειν, διαιωνίζειν τε ἀπήμονα.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Τοὺς ἀσπαζομένους σου εὐλαβῶς, σορὸν τῶν λειψάνων, καὶ τελοῦντάς σου τὴν φαιδράν, μνήμην περιφρούρει, ἀπὸ πάσης ἀνάγκης, Εὐδόκιμε τρισμάκαρ, ἀξιοθαύμαστε.

Τῆς Βατοπεδίου μέγας φρουρός, καὶ τοῦ Ὄρους Ἄθω, ὁ ἀσύλητος θησαυρός, μοναστῶν ἁπάντων, τὸ

γέρας τε καὶ κλέος, Εὐδόκιμε θεόφρον, φρούρει τὴν ποίμνην σου.

Μέγιστος ὑπάρχεις ἡμῶν φρουρός, φύλαξ καὶ προστάτης, ἀντιλήπτωρ καὶ πρεσβευτής, ἐν κινδύνοις ῥύστης, Μονῆς Βατοπεδίου, Εὐδόκιμε τρισμάκαρ· διὸ τιμῶμέν σε.

Κάραν σου ἡ θεία μαρμαρυγάς, βλύζει ἰαμάτων, καὶ μυρίζει τῶν εὐλαβῶς, κατασπαζομένων, αὐτὴν τὰς διανοίας, καὶ τέρπει τὰς αἰσθήσεις, μάκαρ Εὐδόκιμε.

Πάντων νοσημάτων ἀπαλλαγήν, πόνων καὶ κινδύνων, καὶ δαιμόνων ἐπιβουλῆς, κάραν σου τὴν θείαν, πιστοῖς πᾶσιν ἐδείξω, Εὐδόκιμε θεόφρον, φάρμακον ἕτοιμον.

Θήκη ἡ πανεύοσμος τῶν σεπτῶν, λειψάνων σου μάκαρ, εὐωδίαν μυρεψικήν, ἄτεχνον προχέει, τοῖς προσιοῦσι πᾶσιν, ὑγείαν τε βραβεύει, ψυχῆς καὶ σώματος.

Δέχου τὰς πρεσβείας παμβασιλεῦ, τοῦ θεράποντός Σου, Εὐδοκίμου νῦν τοῦ σεπτοῦ, καὶ τὴν ποίμνην ταύτην, ἀπήμονα συντήρει, ἐχθίστων πάσης βλάβης, ὅπως δοξάζει Σε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Ῥέει, ἰαμάτων ποταμούς, πέμπει ἀρωμάτων ἀκτῖνας, βλύζει θαυμάτων πηγάς, θήκη τῶν λειψάνων σου, σοφὲ Εὐδόκιμε, ἀμισθὶ ἰωμένη τε, τοὺς σὲ προσκυνοῦντας· ὅθεν σου δεόμεθα περιπτυσσόμενοι, θείαν σου σορὸν καὶ βοῶντες· οἴκτειρον ἡμᾶς ταῖς λιταῖς σου, καὶ δεινῶν παντοίων ἐλευθέρωσον.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι᾽ εὐχῶν.*

